Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: upu-aw

*Ὁμηρικοὶ Ὕμνοι* · Hymnic Collection Anonymous

# Hymn 31 To Helios

*Ὕμνος πρὸς Ἥλιον*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἐπική* Epic (Homeric)
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

Ἥλιον ὑμνεῖν αὖτε Διὸς τέκος ἄρχεο Μοῦσα
Καλλιόπη φαέθοντα, τὸν Εὐρυφάεσσα βοῶπις
γείνατο Γαίης παιδὶ καὶ Οὐρανοῦ ἀστερόεντος·
γῆμε γὰρ Εὐρυφάεσσαν ἀγακλειτὴν ῾Υπερίων
αὐτοκασιγνήτην, ἥ οἱ τέκε κάλλιμα τέκνα
Ἠῶ τε ῥοδόπηχυν ἐϋπλόκαμόν τε Σελήνην
Ἠέλιόν τ᾽ ἀκάμαντ᾽ ἐπιείκελον ἀθανάτοισιν,
ὃς φαίνει θνητοῖσι καὶ ἀθανάτοισι θεοῖσιν
ἵπποις ἐμβεβαώς· σμερδνὸν δ᾽ ὅ γε δέρκεται ὄσσοις
χρυσῆς ἐκ κόρυθος, λαμπραὶ δ᾽ ἀκτῖνες ἀπ᾽ αὐτοῦ
αἰγλῆεν στίλβουσι, παρὰ κροτάφων τε παρειαὶ
λαμπραὶ ἀπὸ κρατὸς χαρίεν κατέχουσι πρόσωπον
τηλαυγές· καλὸν δὲ περὶ χροῒ λάμπεται ἔσθος
λεπτουργὲς πνοιῇ ἀνέμων, ὑπὸ δ᾽ ἄρσενες ἵπποι
ἔνθ᾽ ἄρ᾽ ὅ γε στήσας χρυσόζυγον ἅρμα καὶ ἵππους
θεσπέσιος πέμπῃσι δι᾽ οὐρανοῦ ὠκεανὸν δέ.
Χαῖρε ἄναξ, πρόφρων δὲ βίον θυμήρε᾽ ὄπαζε·
ἐκ σέο δ᾽ ἀρξάμενος κλῄσω μερόπων γένος ἀνδρῶν
ἡμιθέων ὧν ἔργα θεοὶ θνητοῖσιν ἔδειξαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org